Burton & Goodspeed # 147: The Lesson of the Withered Fig Tree

| Matthew 21:18-22 | Mark 11:20-25 |
|---|---|
| **Matthew 21:18** Πρωῒ δὲ ἐπανάγων εἰς τὴν πόλιν ἐπείνασεν. | |
| **19** καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτὴν καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον, καὶ λέγει αὐτῇ,<br>Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. | |
| | **Mark 11:20** Καὶ παραπορευόμενοι πρωῒ εἶδον |
| καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. | τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. |
| **20** καὶ ἰδόντες οἱ μαθηταὶ | **21** καὶ ἀναμνησθεὶς ὁ Πέτρος |
| ἐθαύμασαν λέγοντες, | λέγει αὐτῷ, Ῥαββί, |
| Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; | ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται. |
| **21** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς | **22** καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς |
| εἶπεν αὐτοῖς, | λέγει αὐτοῖς, |
| Ἀμὴν λέγω ὑμῖν, | |
| ἐὰν ἔχητε πίστιν | Ἔχετε πίστιν θεοῦ. |
| καὶ μὴ διακριθῆτε, | |
| | **23** ἀμὴν λέγω ὑμῖν |
| οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, | |
| ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, | ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, |

| | |
|---|---|
| Ἄρθητι καὶ βλήθητι | Ἄρθητι καὶ βλήθητι |
| εἰς τὴν θάλασσαν, | εἰς τὴν θάλασσαν, |
| | καὶ μὴ διακριθῇ |
| | ἐν τῇ καρδίᾳ αὐτοῦ |
| | ἀλλὰ πιστεύῃ ὅτι ὃ λαλεῖ γίνεται, |
| γενήσεται· | ἔσται αὐτῷ. |
| | **24** διὰ τοῦτο λέγω ὑμῖν, |
| **22** καὶ πάντα ὅσα ἂν | πάντα ὅσα |
| αἰτήσητε ἐν τῇ προσευχῇ | προσεύχεσθε καὶ αἰτεῖσθε, |
| πιστεύοντες | πιστεύετε ὅτι ἐλάβετε, |
| λήμψεσθε. | καὶ ἔσται ὑμῖν. |
| | **25** καὶ ὅταν στήκετε προσευχόμενοι, |
| | ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ |
| | πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν |
| | τὰ παραπτώματα ὑμῶν. |

Matthew: 105 – 8 = 97 Mark: 110 – 9 = 101 Identical: 32/198 = 16.16%